# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΤΟΜΟΣ ΙΕ'.—30 Σεπτεμβρίου 1921.—ΤΕΥΧΟΣ Β'—Γ'

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΑΝΕΚΔΟΤΟΣ ΠΑΝΗΓΥΡΙΚΟΣ

### ΤΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΤΗΣ ΓΕΡΜΑΝΙΑΣ ΣΙΓΙΣΜΟΥΝΔΟΥ

Ἐν τῷ ὑπ' ἀριθ. 226 Ἑλληνικῷ Παλατίνῳ κώδικι τῆς Βιβλιοθήκης τοῦ Βατικανοῦ, γεγραμμένῳ τὸν δέκατον πέμπτον αἰῶνα, εὕρηται γεγραμμένος δὶς ἐν φ. 142β—149α καὶ φ. 176α—180β ἀνεπίγραφος πανηγυρικὸς εἰς αὐτοκράτορα, ὅστις ἐκ τοῦ κειμένου ἀποδεικνύεται ὢν ὁ τῆς Γερμανίας Σιγισμοῦνδος 1410 — 1437. (Πρβλ. Gustav Bekmann Der Kampf Kaiser Sigmunds gegen die werdende Weltmacht der Osmanen 1392—1437 (Gotha 1902) σελ. 59. 61. 62 καὶ 62—63 ὑποσ. 2). Καὶ ἐν μὲν τοῖς φ. 142α καὶ ἑ. φαίνεται ὑπάρχον τὸ πρωτόγραφον τοῦ ἀνωνύμου συγγραφέως, ἐν δὲ τοῖς φ. 176α ἐξεγράφη καὶ πάλιν τὸ αὐτὸ κείμενον μετὰ διορθώσεων ἀναφερομένων εἰς ἀντικατάστασιν λέξεων συνωνύμων, εἰς ἀλλαγὴν τῆς θέσεως ἄλλων καὶ εἰς ἄλλας μεταβολάς. Διὸ βάσιν τῆς κατωτέρω ἐκδόσεως τοῦ κειμένου τούτου ἐλάβομεν τὸ δεύτερον τοῦτο διεσκευασμένον ἀπόγραφον, σημειώσαντες ὑπὸ τὸ κείμενον τὰς διαφόρους γραφὰς ἀμφοτέρων τῶν ἀπογράφων, τοῦτε πρώτου (Α) καὶ τοῦ δευτέρου (Β).

Εἰ δὲ ἡ μακρὰ καὶ συνεχὴς καὶ πολυήμερος κατειργάσατό μοι τὸ σῶμα νόσος, ὅ τε τῆς ὁδοῦ προστεθεὶς σύντονος κόπος ἔτι μᾶλλον ἐπέρρωσε ταύτην καὶ ἀσθενῆ με λίαν καὶ σχεδὸν ἀπηγορευμένον ἄμφω πεποιήκατον, ἀλλά γέ μοι τὸν νοῦν ἐν τοῖς συμβεβηκόσι τούτοις ἅπασιν ἐρρωμένον ἥπερ ἦν τὸ πρότερον θεὸς δεδώρηται, παραβλαβέντα τὸ παρ' ἅπαν οὐδὲν ἐξ αὐτῶν. Οὕτως ἔχων, ὦ γαληνότατε βασιλεῦ, πολλάκις ἐνενόουν κατ' ἐμαυτὸν τί ἄν σοι προσενέγκαιμι δῶρον, ὅπερ ἀνάλογον

4. γέ ἔγραψα : γε ΑΒ 5. το_πρότερον ΑΒ 6. τὸ παρ' ἅπαν ἔγραψα : το_παραπαν ΑΒ



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μὲν εἴη αὐτοκράτορι, καὶ τηλικούτῳ γε αὐτοκράτορι, ἐμοί τε τῷ ἀνενεγκόντι, ψόγον οὐδένα προσοίσει, σοί τε τῶν εὐαποδέκτων εἴη ἄν. Τὸ τοιοῦτον τοίνυν ἐπὶ νοῦν βαλλόμενος καὶ συστρέφων καθ' ἑαυτόν, καὶ τοῦτο δὴ ἐνενόουν, ὡς δυοῖν ὄντοιν, ὧ γε δὴ πάντες ἄνθρωποι θεῷ μὲν τὸ πρῶτον, εἶτα καὶ βασιλεῦσι καὶ πᾶσιν ἄρχουσιν, ἔτι τε γονεῦσι καὶ φίλοις προσάγομεν, πολλῷ γε δὴ θατέρου θάτερον ἀναλογιζόμενος εὕρισκον διαλλάττον. Ὅσα μὲν γὰρ ἀπὸ σωμάτων δῶρα ὁπόσα τε καὶ ὁποῖα φέρει τε καὶ τρέφει ζείδωρος ἄρουρα, θάλαττά τε καὶ ἀέναοι ποταμοὶ παρέχουσι, ταῦτα πάντα καὶ σώμασιν ἑώρων ἐπωφελῆ, τὰ μὲν εἰς χρείαν, τὰ δ' εἰς κόσμον συντείνοντα.

Καὶ μᾶλλόν γε σύ, βασιλεῦ, τοῖς ἐνδεέσι τούτων παρέχων ἀεί, ὥσπερ ἀπό τινος ἀφθόνου καὶ ἀειρρόου πηγῆς ἐκείνοις πηγάζεις, καὶ εἴ τις ἕτερος κατὰ τὸ εὐεργετεῖν εὖ πεφυκώς. Ὃ δ' ἀπὸ ψυχῆς πρός τε θεὸν πρός τε τὰς ἐκείνου φίλας οὐρανίους δυνάμεις, ἀλλά γε δὴ καὶ τῶν μεγίστων καὶ ἁγίων ἀνδρῶν πρὸς πάντας χοροὺς ἔτι τε πρός τε ὑμᾶς μετ' ἐκείνους τοὺς αὐτοκράτορας καὶ ἁπλῶς εἰπεῖν πρὸς ἀλλήλους ἅπαντας, οἷς ἀρετῆς τε καὶ λόγου μέτεστιν, οὐδὲν ἄλλο ἢ λόγον ἑώρων, ὅς γε τόκος καὶ γέννημα τῆς λογικῆς τυγχάνει ψυχῆς καὶ δι' οὗ γε βασιλέων πράξεις παλαιῶν τε καὶ νέων ἀναγνωρίζονται, ἔτι τε γενναίων καὶ ἀρίστων ἀνδρῶν μεθ' ὕμνων ὅ τι μάλα καὶ εὐφημιῶν ᾄδονται λαμπροτάτων. Ὥσπερ δὴ καὶ ἔργα τὰ σά, ἃ δὴ πολλά τε καὶ γενναῖα καὶ λαμπρὰ τυγχάνοντα, ὅσα δὴ προλαβὼν ἄχρι τοῦ νῦν, ἄριστε, πεποίηκας, αὐτοκράτορ, τοῦτο δὴ καὶ αὐτὸς τὸ ἀπὸ ψυχῆς προσενεγκεῖν σοι δῶρον βουλόμενος καὶ τὰς ἡμετέρας ἐπαινέσαι λαμπροτάτας ὡς ἐν κεφαλαίῳ πράξεις οὐκ' οἶδ' ὅθεν ἀντεπῆλθέ μοι δέος καὶ συνεῖχέ μου τὴν ψυχὴν καὶ κατεῖχον ἐμαυτὸν μήπως ξυνήθεις ἀξίως μηδὲν ἐρεῖν μηδ'

2. εἴη ἂν B : ἂν εἴη 3. τοίνυν ἐν τῷ κειμένῳ A: ἄνωθεν B ἐπὶ νοῦν ἐν τῷ κειμένῳ B : ἐπὶ νοῦν ἐν τῷ κειμένῳ καὶ πάλιν ἐν τῇ ὤᾳ καθαρώτερον A 4. δυοῖν A δυοῖν ἐκ τοῦ τὸ πρῶτον γραφέντος δυοῖν B ὧ A : ὦ B 5. τὸ πρῶτον ἔγραψα: το πρῶτον A: το πρῶτον B τέ AB 7. διαλάττον B: γρ. διαλλάττων ὑπερέ-πο-χον B 7. ὁπόσα A: ὁ σα B τέ AB 8. φέρει τέ καὶ τρέφει B: τρέφει A 8. ἀέναοι ἔγραψα: ἀένναοι AB 11. γε σὺ B: σύ γε A 13. ὃ A: ὁ B 14. φίλας οὐρανίους B: φίλας ἐν τῷ κειμένῳ καὶ οὐρανίους πρόσθετον ἐν τῇ ὤᾳ B 15. τε B: τὲ A 18. τυγχάνει B: τυγχάνει ἄνωθεν λέξεως διεξεσμένης A 19. ἀναγνωρίζονται A ἀναγινώσκονται γνωρίζονται B 22. ἄριστε A: ἄριστέ προλαβὼν B 24 ὡς ἐν κεφαλαίῳ ἐν τῷ κειμένῳ A: ὡς ἐν κεφαλαίῳ ἄνωθεν B 25. ἀντεπῆλθέ ἔγραψα ἀντεπῆλθε AB συνεῖχέ ἔγραψα: συνεῖχε AB 26. μηδ' AB

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΜΕΣΑΙΩΝΙΚΗΣ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀναλόγως τοῖς θαυμαστοῖς ἐκείνοις καὶ μεγάλοις ἔργοις, ἄλλως δ' ὅτι ἐβαλλόμην [γὰρ] καὶ τοῦτ' ἐπὶ νοῦν ὡς πράξεις ἐκεῖναι καὶ ἔργα τῆς σῆς γαληνότητος ὑπὸ τῶν ὑμετέρων καὶ λόγων καὶ νοημάτων ἀναλόγως ἂν καὶ μόνον ἐκοσμοῦντο, ἑτέρου μηδενὸς ἐξικνουμένου τοῖς σοῖς θείοις ἔργοις ἐξισῶσαι λόγου πλήν γε δὴ καὶ μόνου τοῦ σοῦ. Ἀλλ' ἐπεὶ καὶ τοῖς αὐτοκράτορσιν ὑμῖν ἔνεστι νόμος τὰ μὲν ἔργα πράττειν ὅ τι μάλιστα λαμπρὰ καὶ γενναῖα, εὐφημεῖσθαι δὲ ταῦτα πρός γε ὑμῶν ἔξεστιν οὐδαμῶς, φέρε βασιλεῦ οἷς δέδοται, δέδοται δὲ τῷ καὶ ὁποσονοῦν ὑμνεῖν καὶ γεραίρειν δυναμένῳ, κἀμοὶ καθ' ὅσον ἐφικτὸν ἀληθῶς ἐπαινέσαι οὐχ ὅσα καὶ δὴ πέπραχας· ταῦτα γὰρ ἔγωγε πάντα σύνοιδα μηδαμῶς· ἀλλ' ὅσα καὶ δὴ φθάσας ἔγνων μαθών. Πρώτην μὲν οὖν ταύτην ὁ λόγος ποιεῖται τὴν ὑπόσχεσιν, βούλεται δ' ἔτι μετ' αὐτὴν καὶ ἑτέρας ἅψασθαι, ἐρεῖ δέ γε τηνικαῦτα καὶ οὕτως ὥστε τὴν τελευταίαν ξυνᾴδειν τῇ πρώτῃ.

Τῷ σῷ θειοτάτῳ πατρί τε καὶ βασιλεῖ μεγίστῳ τελοῦντι οὐχ ἤνεγκε τὴν βασιλείαν ἡ τύχη δῶρον, ἀλλ' ἀρετή τε τούτου καὶ ἔργα καλὰ καὶ γενναῖα τὴν θείαν ἐκείνην καὶ λαμπρὰν ἐταινίωσαν κεφαλὴν τῷ βασιλείας ἀξιώματι, καὶ οὕτως ἔχοντος ἐξ ἀρετῆς τὸ βασιλεύειν σύ τε βασιλεῦ, ἐξ ἐκείνου καὶ πρὸ σοῦ ὁ σὸς ἀδελφὸς γίγνεται καὶ βασιλεύς. Τοῦτο καὶ μόνον ἤρκεσεν ὅ τι πλείστοις τῶν πώποτε καὶ τῶν νῦν εἰς εὐδαιμονίαν, τὸ βασιλέων καὶ τηλικούτων, γενέσθαι παῖδας, κἂν τούτῳ δὴ καὶ μόνον ἀρκεσθέντες ἐπέβλεψαν εἰς τὸ πρόσω κατ' οὐδὲν μηδαμῶς. Ἀλλ ὦ καῖσαρ λαμπρότατε, σοῦ γε τοῦτ' αὐτὸ μικρὸν ἡγησαμένου, ἐπείπερ ἡ μὲν ἑσπέριος ἐδεῖτο βασιλέως ἀρχή, ἔτι δ' αὐτὸς κομιδῇ νέος ἐτύγχανες, καὶ οὕτω δὴ τῶν τῆς βασιλείας προτεθεισῶν ψήφων, καθ' ἅ γε νόμος, αὐταδέλφου τοῦ σοῦ· ὥστε ἀρετὴ κἀνταῦθα νικᾷ καὶ ταῖς ψήφοις ἁπάσαις τῶν προυχόντων ἁπάντων λαμβάνει τὸ τῆς βασιλείας ἀξίωμα, χρόνους τε ἱκανοὺς ἐνδιατρίψας αὐτῇ καὶ εὐθύνας ὡς ἐνῆν ἄριστα καθυπηρετεῖ τῷ χρεών. Ἀλλ' ὅ με παρέδραμε μικρὸν

2. ἐβαλλόμην B: ἐβαλόμην A  7. ταῦτα ἐν τῷ κειμένῳ A: ταῦτα ἄνωθεν B  9. κἀμοὶ καθ' ὅσον A: καμοὶ καθόσον B  11. οὖν ἄνωθεν B  15. ἤνεγκε τὴν βασιλείαν ἔγραψα· ἤνεγκεν αὐτῷ τὴν βασιλείαν B: ἤνεγκεν A  16. καλὰ A: καλὰ λαμπρὰ B  18. καὶ ἐν τῷ κειμένῳ B: καὶ ἄνωθεν A  19. γίγνεται καὶ βασιλεύς B: καὶ γίγνεται βασιλεύς  22. δὴ A: δὲ B  τὸ πρόσω ἔγραψα: τοπρόσω AB  25. προτεθεισῶν ἔγραψα: προτεθέντων AB. Πρβλ. κατωτέρω τὸ ψήφοις ἁπάσαις  26. καθ' ἃ ἔγραψα· καθὰ AB  27. ταῖς B: ταῖς ἐκ τοῦ τὸ πρῶτον γραφείσαις ταῖς M  27. προυχόντων AB

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐπαναλαβὼν εἶμι πάλιν ἐκεῖσε, ὅπως αὐτὸς ἐξ ἁπάντων ᾑρέθης ἄριστος ὢν ἄριστα βασιλεὺς ἔτι ζῶντος ὁμαίμονος τοῦ σοῦ καὶ τὴν αὐτοκράτορα (;) καὶ βασιλείαν ἰθύνοντος ἀρχήν, πάνυ νέος ὢν αὐτός· πρὸς ἡδονὰς οὐκ ἐπεῖδες, οὐκ ἐχρήσω ῥᾳστώνῃ, τὸ νέον οὐχ ὑπό τινος καὶ ἁπαλὸν τῆς ἡλικίας κατεβλήθη τῶν ἡδονῶν· οὐχ εἷλον ἐπιθυμίαι καὶ ἡδοναὶ τοῦ σώματος τὴν σὴν ψυχήν, αἵτινες τῶν ἑαλωκότων ὑπ' αὐτῶν καταδοῦναι ἄγχουσι καὶ οὐκ ἐῶσι μήτ' ἀρετῆς μήτ' ἀνδρείας ἅπτεσθαί τινα τὸ παρ' ἅπαν, ἀλλ' ἐξ ἐκείνων ὥσπερ τινῶν Σειρήνων ἢ καὶ Χαρύβδιος ἀποπηδήσας αὐτῆς, τὸ μὲν σῶμα πρὸς ἀγῶνας καὶ κόπους καὶ γυμνάσια συνεχῆ ὅσαι καθυπέβαλες ὧραι καὶ πολλοὺς ἔτι νέος καὶ οὔπω ἔφηβος ἐὼν καθεῖλες μονομαχῶν τῶν ἀνδρῶν, καὶ τῶν ἀρίστων μᾶλλον, ἔστι δ' οὓς καὶ αὐτοῖς συγκατέρραξας ἵπποις· ὁμοίως δὴ καὶ τοῖς ἄλλοις ἅπασι γυμνασίοις οὐ τῶν ἴσων σοι καθ' ἡλικίαν μόνον, ἀλλὰ καὶ τῶν προὐχόντων ὑπερέβαινες τῷ χρόνῳ πολλῷ καὶ τοῖς σωματικοῖς ὑπερεῖχες ἀνδραγαθήμασι πάντῃ πάντων. Τὴν δέ γε ψυχὴν ἐκόσμεις μὲν ἀρεταῖς ὅσαι θεῷ οἰκειοῦσιν, ἐκόσμεις δὲ λόγοις καὶ μαθήμασι. Καὶ ταῦθ' ἃ φημι πάντα θεωρεῖν ἔτ' ἔξεστι παντὶ τῷ βουλομένῳ. Εἴτε γὰρ τοῖς Λατίνων δέοι χρηματίζειν σοφοῖς, τίς οὕτως ἱκανός, ὥστε σου τοῖς διατόροις καὶ κεκομψευμένοις ἐξισοῦσθαι λόγοις τῶν Λατίνων, τῶν δέ γε νοημάτων τῶν σῶν πεῖραν ὁστισοῦν λαβὼν ἐκπλαγήσεται μᾶλλον καὶ θαυμάσει τὴν ἐκείνων ἰσχὺν καὶ τοὺς ποικίλους αὐτῶν λαβυρίνθους, ὡς ῥᾶον ἂν τὴν πεποιημένην σοι λαβύρινθον ἐν τοις βασιλείοις διαδρᾶναί τινα ἢ τὰς ποικίλας καὶ πολυειδεῖς πλοκὰς τῶν σῶν διανοημάτων εἴτε τοῖς προὔχουσι τῶν Οὔγγρων ὁμιλεῖν. Πᾶς τις ἂν εἰδὼς ἐρεῖ ὡς ἐκπεπόνηταί σοι τὸ λέγειν ἄριστα κατ' ἐκείνους. Οὐχ ἧττον δέ σοι καὶ ἡ τῶν Γερμανῶν ἐκμεμελέτηται φωνή, ἔτι δὲ ἄριστα καὶ ἡ τῶν πάλαι μὲν Γότθων, Τζέχων δὲ τὰ νῦν καλουμένων·

**2. ἔτι A:** ἔτι πάνυ νέου τυγχάνοντος τῶν μετὰ τὸ ἔτι λέξεων διαγραφεισῶν εἶτα B αὐτοκράτορα (;) καὶ A: λείπουσι B 3. ἀρχὴν A: λείπει B 7. ἐῶσι A: **ἐῶσιν B** ἅπτεσθαί τινα A(;): ἅπτεσθαι τινα B 8. παρ' ἅπαν ἔγραψα: **παράπαν AB** ὥσπερ τινῶν A: ὥσπέρ τινων B 9. Χαρύβδεως A: χάρϋβδος B **11.** ἔφηβος A: ἐφήβος ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἔφηφος B μονομαχῶν **B: γυμναζόμενος A** ἀρίστων ἔγραψα· ἄριστων B: ῥωμαλέων A 14. **προυχόντων AB** ὑπερέβαινες A: ὑπερεῖχες -έβαινες B 18. ἱκανος ἔγραψα: **ἱκανῶς AB** 23. διαδρᾶναι A διαδρᾶναι B 24. προύχουσι AB ὁμιλεῖν **A: ὁμιλεῖ B** ἐκπεπόνηται A: ἐκπεπονηται (μεμελετη) B ἐκείνους A ἐκεῖνα B **26. ἄριστα A: λείπει B**

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀλλὰ καὶ τῶν Ἰταλῶν καὶ αὕτη σοι γνώριμος ἡ φωνὴ γίγνεται. Ἑκάστην δ' οὕτως ἐξήσκησας ὡς ἕτερος μίαν μόνην καὶ μηδεμίαν ἑτέραν.

Ταῦτά σοι τὸ νέον ἔτι καὶ ἔφηβον ἐκαρποφόρησε τῆς ἡλικίας, ἄρτι μετ' εὐφροσύνης τῶν ἐκείνης ἀπολαύοντι καλῶν. Δεῆσαν δ' ἔτι καὶ μειζόνων ἀγώνων καὶ ὅπλα περιθεὶς ἑαυτῷ καὶ ἀναλαβὼν οἷς γε καὶ δὴ τὴν ἀναδρομὴν συνεπήξησας τῆς ἡλικίας, ἔργα πεποίηκας ἐν τοῖς τῶν πολέμων ἀγῶσι κατ' οὐδὲν ἐκείνων τῶν ὑμνουμένων πάλαι ἡρώων ὑποδεέστερα καὶ θαῦμα ἧς ἐν τοῖς ἁπάντων ᾀδόμενος χείλεσι, παρὰ σοί γε καὶ μόνῳ τοῦ φθόνου χώραν οὐκ ἔχοντος ὡς τῶν ἄλλων οὐκ ἐπ' ὀλίγον, ἀλλ' ἐπὶ πολύ γε ἡττημένων· φθονεῖν γὰρ ἕκαστος οὐ τὸ σφόδρα εἴωθεν ὑπερέχον, ἀλλ' ἤ γε τὸν ἴσον αὐτῷ ἢ καί τι μικρὸν ὑπερβαίνοντα. Ἐν τούτοις τοίνυν εὐδρομῶν καὶ ἐν πᾶσι τὰ πρῶτα φερόμενος, τὴν μεγίστην τῶν Οὔγγρων ἀνδρείᾳ καὶ συνέσει καὶ σοφίᾳ λαμβάνεις ἀρχήν, ἀλλὰ καὶ Κροατίαν καὶ Δαλματίαν προστίθεις ἐκείνῃ, αἱρεθεὶς μὲν τὸ πρῶτον οὐχ ἥκιστα πρός τε τῆς λαμπροτάτης ἐκείνης ῥηγίσσης καὶ τῶν ἐν τέλει πάντων, δυνάμει δὲ καὶ γνώσεως ὑπεροχῇ κατάρξας ἐννόμως ἐκείνης καὶ τῶν ἄλλων μετέπειτα, καὶ οὕτω δῆτα κατεκόσμησας αὐτήν, ὥστε πόλεις μὲν ἐχυρὰς ἑκασταχοῦ πεποίηκας κάλλει καὶ μεγέθει καὶ ὀχυρότητι τὰς πρώτας ἐκείνας νικήσας καὶ παλαιὰς ἔτι τε βασίλεια λαμπρότατα κατ' εὖρος καὶ μῆκος καὶ τῇ διὰ πάντων ποικιλίᾳ καὶ καλλονῇ καὶ τερπνότητι τῶν ἑκασταχοῦ ὑπεραί-

1. αὕτη Α: αὐτὴ Β γίγνεται Β: γίνεται Α 2. μηδεμίαν ἑτέραν Β: τὴν αὐτὴν μόνην Α 3. ἐκαρποφόρησε τῆς ἡλικίας Β: τῆς ἡλικίας ἐκαρποφόρησε Α 4. ἀπολαύοντι (ἐκ τοῦ ἀπολαύωντι) καλῶν Β: καλῶν ἀπολαύοντι Α 4. δ' Β: δὲ Α 6. τὴν Α: τὴν ἐκ διορθώσεως λέξεως μακροτέρας διαγραφείσης κατόπιν, ἧς διακρίνονται νῦν μόναι αἱ ἐπὶ διαγεγραμμένου ὑπάρξασαι στιγμαί Β 7. ἀγῶσι Β: ἀγῶσιν Α ἡρώων Α: ἀγώνων Β 8. ὑποδεέστερα Β: ἀποδέοντα Α 11. ἀλλ' ἤ Α: ἀλλὰ Β 12. ὑπερβαίνοντα Α: ὑπερέχον βαίνοντα τῶν γραμμάτων έχον διαγραφέντων κατόπιν Β 12. τὰ πρῶτα (; Β: ταπρῶτα Α 13. Οὔγγρων Α: οὐγγρων Β 14. ἀλλὰ - ἐκείνῃ πρόσθετα ἐν τῇ ὤᾳ διὰ παραπεμπτικοῦ σημείου ∴ Β: λείπουσιν Α 15. τὸ πρῶτον οὐχήκιστα Α: οὐχ' ἥκιστα τοπρῶτον Β (β, α) 15-16. τῆς λαμπροτάτης - ὑπεροχῇ Α: τοῦ λαμπροτάτου (ἄνευ ἀναλόγου προσθήκης ἐν τῇ ὤᾳ) ῥηγὸς ἐκείνου καὶ ἀνδρείᾳ δὲ καὶ (συνέσει) δυνάμει τὸ μετέπειτα Β 17. ἐννόμως ἐκείνης Β: ἐκείνης καὶ τῶν ἄλλων μετέπειτα Α δῆτα Α: δῆτ Β 19. ὀχυρότητι Β: ἀσφαλείᾳ Α 20. κατ' Α: καὶ κατ' Β.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ροντα· ἀλλὰ μὴν γε συνέσει τῇ σῇ προσόδους μεγίστας ἀπό τε χειροποιήτων λιμνῶν ἀπό τε προσεξειργάσω ἀλῶν ἔτι τε καὶ παραδείσους ὅτι πλείστους καὶ καλλίους μᾶλλον ἢ πολλούς. Ἀλλὰ τίς μοι ταῦτα λέγειν ἀνάγκη, τῶν μεγάλων ἀφέντι καὶ οἰκουμενικῶν τούτοις προσδιατρίβειν ἔργων; Ἄλλοις μὲν τάχ' ἂν δόξειε τῶν μεγάλων ταῦτα, σοὶ δ' εἴτι τοιοῦτον πέπρακται, ἐν τῷ τῆς ῥᾳστώνης καιρῷ καὶ γεγένηται, καὶ ἅπερ δὴ τοῖς ἄλλοις σπουδαὶ καὶ ἀγῶνες, ταῦτά σοι παιδιαὶ καὶ ῥᾳστῶναι.

Καὶ μὴν γε τὰ πολλὰ παρεὶς ὅσα σοι κατὰ διαφόρους πέπρακται τοὺς καιροὺς ὅσους τε ἀγῶνας ἐνήθλησας τοῖς πολέμοις, νίκας καὶ τρόπαια στησάμενος οὐκ ὀλίγα, ἐπ' αὐτό γε δὴ τὸ μέγα τρέψομαι καὶ θειότατον ἔργον. Τοῦ ἀποστάτου καὶ δημιουργοῦ τῆς κακίας ὅλῃ δυνάμει μάλα τοι κραταιῶς τῇ ἱερᾷ τῶν Λατίνων ἐπεισπεσόντος ἐκκλησίᾳ, κατ' αὐτῆς ἐγείρει χειμῶνα σφοδρότατόν τε καὶ βιαιότατον καὶ σχίσμα τῇ τοῦ θεοῦ ἐκκλησίᾳ ἐπάγει χρόνους οὔ τοι μετρίους. Τριάκοντα γὰρ καὶ πρὸς ἐπέτεινε καὶ ἦν ἰδεῖν οὐδαμόθεν τὴν ἐπικουρίαν, ἀλλ' οὐδ' ἐν ἐλπίσιν ὑπῆρχε λυθῆναι τὴν στάσιν ἐκείνην. Τῆς γὰρ μεγάλης πόλεως Ῥώμης, ἅτε καθέδρας οὔσης ἀποστολικῆς ἐξ αὐτοῦ γε Πέτρου τῶν ἡμερῶν τοῦ μεγάλου μέχρις ἐκείνου τοῦ χρόνου τῶν παπῶν ἑκάστου τὴν ἑσπέριον πᾶσαν ἀρχὴν πατρικῶς καὶ πνευματικῶς διιθύνοντος, τηνικαῦτα ὁ νοητὸς ἐκεῖνος δράκων διασπάσας τὴν ἡγεμονίαν εἰς τρία διαιρεῖ καὶ τρεῖς ἀνθ' ἑνὸς ἀντικαθίστανται πάπαι, ἑκάστου πρὸς τὸν ἕτερον ἀεὶ διαμαχομένου· καὶ συνέβη τοὺς τῆς εἰρήνης πατέρας καὶ διδασκάλους ὀχλήσεως καὶ μάχης εἶναι πατέρας καὶ διδασκάλους, καὶ ἦν ἰδεῖν τὴν Ἑσπέραν κυμαινομένην πᾶσαν καὶ κλυδωνιζομένην τὰ μέγιστα φόνους τε καὶ τραύματ' ἀπὸ τούτων οὐκ ὀλίγα προβαίνοντα. Καὶ γίνεται δὴ τὸ πᾶν κυκεών· ἱερεῖς καὶ τῶν ἱερέων ἐξάρχοντες ὅπλα κατὰ τῶν ὁμοίων ἐπῆγον πόλεμός τε ἄσπονδος ἦν καὶ ἀκήρυκτος, ἕως οὗ θεὸς

2-3. ἔτι τε ἢ πολλοὺς ἐν τῷ κειμένῳ A: ἔτι τί—καὶ πολλοὺς ἐν τῇ ὤᾳ πρόσθετα διὰ παραπεμπτικοῦ σημείου: B 3. τίς A: τί B 6. τι B: τι καὶ A 9. πολλὰ A: πολλά γε B 10. νίκαι καὶ τρόπαια A: νίκαι καὶ τρόπαια B 13. μάλα A: μαλά B 15-16. καὶ πρὸς B: ὥς φασιν ἔγγιστά που A 16. οὐδαμόθεν τὴν ἔγραψα: οὐδ' ἀμόθεν [θεν τὴν (;)] B: οὐδ' ὅθεν οὖν A 17. ὑπῆρχε B: ὑπῆρχεν A 21. δράκων διασπάσας A: διασπάσας δράκων B ἡγεμονίαν A: ἡγεμονεαν B τρία A: τέσσαρα B 22. τρεῖς A: τέσσαρας B ἐν τῇ ὤᾳ 25. τὰ μέγιστα B: τα μέγιστα A 28. πόλεμός A: πολεμος B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εὐμενὲς ἐπιβλέψας τῇ Λατίνων ἐκκλησίᾳ καὶ λαβὼν οἶκτον ζητεῖ τὸν ἀξίως ὑπηρετήσοντα καὶ ζητῶν εὑρίσκει, βασιλεῦ, οὐδένα ἄλλον ἢ σὲ καὶ μόνον ἱκανὸν τῆς τοιαύτης αὐτοῦ ὑπουργίας. καὶ θείᾳ ἐμπνευσθεὶς ἐπιπνοίᾳ λαμβάνεις κατὰ νοῦν τὴν ἐκείνης διόρθωσιν καὶ δεύτερα πάντα μᾶλλον θέμενος καὶ αὐτῆς ἀφειδήσας τῆς ζωῆς, ὅλῳ ποδί, τὸ τοῦ λόγου, πρὸς τὴν ἴασιν τρέχεις ἐκείνης οὐχ ἁπλῶς οὐδ᾽ εἰκῇ, ἀλλὰ σοφῶς καὶ ἀνδρείως ἄγαν. Καὶ ὁ τρόπος οἷος: Ἐπεὶ γὰρ ταῖς παπικαῖς ἐκείναις ἀρχαῖς καὶ οἱ ῥῆγες συναπερράγησαν, αἷς ἐκεῖνοι προσεῖχον, καὶ τὸ κράτος εἶχεν ἕκαστος οὐκ ἐν ὀλίγαις τῶν ἐπαρχιῶν. τὰ πρῶτα μέν, ὡς ἠκηκόειμεν, διὰ πρέσβεων πρός τε τὸν Γαλατίας πρός τε τὸν Ἱσπερνίας καὶ Ἀλουΐωνος, νήσων βρεττανικῶν, ἄρχοντα, ἔτι γε μὴν Ἰβηρίας καὶ τῶν ἑκασταχόσε χρηματίζεις πάντων καὶ πρὸς ἕνωσιν κινεῖς αὐτοὺς τῆς ἱερᾶς ἐκκλησίας καὶ ὁμόνοιαν. Εἶτ᾽ αὐτὸς οὐ στρατὸν παραλαβών, οὐ θεραπείαν ἡντινοῦν βασιλικήν, μέχρι τῶν ἐσχατιῶν ἐπέπτης, ὥσπερ ἀετὸς ὑπόπτερος, τῆς οἰκουμένης. καί, πείσας πάντας ὡς καλὸν ὁμόνοια καὶ εἰρήνη καὶ ἡ τῆς ἐκκλησίας πολὺ μᾶλλόν ἐστι, σύνοδον μεγίστην ἀνὰ τὴν Κωνσταντίαν συγκροτεῖς καὶ πᾶν τὸ προὔχον, ὅσον ἐν ἱερωσύνῃ, ὅσον ἐν ἀρετῇ, ὅσον ἐν σοφίᾳ συναθροισθὲν καὶ γνώσει, καθαίρεσιν πάντων ἐκείνων παπῶν ψηφίζεται καὶ τὸν ἄριστον ἕνα ἁπάσης τῆς τοῦ θεοῦ ἱερᾶς ἐκλέγονται ἐκκλησίας καὶ ἡ πολυθρύλητος ἐκείνη καὶ φθοροποιὸς μεγάλη πέπαυται στάσις καὶ μεγίστην ἑορτὴν ἡ τῶν Λατίνων ἄγει ἐκκλησία καὶ τὴν εἰρήνην ἀπολαμβάνει τὴν πρώτην ἡ τῆς Ἑσπέρας αὐτῆς ἀρχή. Καὶ θεὸς μὲν ἥδεται, ὁ δ᾽ ἀντικείμενος αἰσχύνεται καὶ καταδύεται τοῖς ἀγαθοῖς ἔργοις. Τοῦτο, γαληνότατε αὐτοκράτορ, ὑπὲρ τὴν ἐν Μαραθῶνι τῶν Ἀθηναίων νίκην ἣν Πέρσας ἐνίκων· τοῦτο ὑπὲρ τὴν ξυμπάντων Ἑλλήνων, ἣν Ξέρξην, Ξέρξην ἐκεῖνον, ἐν θαλάττῃ καὶ χέρσῳ κατετροπώσαντο καὶ ὑπὲρ τὰς Ἀλεξάνδρου καὶ Κύρου νίκας τοῖς γε νοῦν ἔχουσι κρίνεται, ὅσῳ σώμασιν ἐνίκων ἐκεῖ-

1. ζητεῖ A: ζητεῖ μετὰ κινεῖ διαγεγραμμένου B 3. αὐτοῦ (:) B αὐτοῦ A 3-4. καὶ θείᾳ—ἐπιπνοίᾳ ἐν τῷ κειμένῳ ἐφεξῆς A: καὶ θείᾳ—ἐπιπνοίᾳ ἐν τῷ κειμένῳ ἄνωθεν B 9. τὰ πρῶτα ἔγραψα: ταπρῶτα AB 11. ἀλουΐωνος B: ἀλουΐωνος A νήσων A: νήσων τῶν B 17. προῖχον AB 20. πολυθρύλητος ἔγραψα: πολυθρύλλητος AB 22. ἄγει A: ἱερὰ B ἐκκλησία A: ἐκκλησία μεγίστην ἄγει B 24. ἔργοις A: λείπει B αὐτοκράτορ A: καῖσαρ B 27. κατετροπώσαντο ἐκ τοῦ τὸ πρῶτον γραφέντος κατετροπώσαντες διορθωθέντος εἶτα εἰς κατετροπωσάντων B: κατατροπώσαντες A

νοι σώματα, αὐτὸς δὲ νῷ καὶ ψυχῇ τὸν Ἀσσύριον καὶ μέγαν ἐκεῖνον εἰς κακίαν, μᾶλλον δὲ καὶ δημιουργὸν αὐτῆς κατετροπώσω νοῦν, ὃς τὴν ἱερὰν ἐκκλησίαν καταρράξας καὶ διασπάσας Λατίνων χρόνους συχνούς, αὐτὸς σύν γε φάναι θεῷ συνέσφιγξας καὶ συνέστησας, εἰς τὸ πρῶτον πάλιν ἀξίωμα ταύτην ἐπαναγαγών. Ἀλλὰ τραυματισθέντα τὸν πονηρὸν ἐκεῖνον καὶ ἀρχέκακον δράκοντα καὶ ἡττηθέντα ἠρεμεῖν οὐκ ἦν, ἀλλ' ἐξ ἑτέρου μέρους ἀλλόκοτα δόγματα κινεῖ τινας εἰσάγειν καὶ καινοφανῆ τῇ ἐκκλησίᾳ θεοῦ καὶ δι' αὐτῶν ὑποσπείρει ταῦτα καὶ ἐμεῖ κατὰ τῶν ὑποδεχομένων τὸν ἰὸν καὶ μέγα ἔθνος καὶ πολυάνθρωπον ὅλον τῶν Ποεμίων προσοικειοῦται καὶ θεοῦ καὶ τῆς ἱερᾶς ἀφίσταται Λατίνων ἐκκλησίας καὶ γίνεται πληγὴ καὶ τραῦμα μέγιστον. Καὶ πάλιν τὸν ἰασόμενον ταῦτα κινεῖ θεός. Τίνα τοῦτον; αὐτοκράτορ λαμπρότατε, σέ. Καὶ ἐκ νέου πάλιν ἀγῶνα μέγιστον ἀναλαμβάνεις καὶ Ποεμίους μετὰ πρέσβεων ἀνακαλεῖς πρὸς εὐσέβειαν, πραότητι χρησάμενος τὰ πρῶτα βασιλικῶς καὶ γαληνότητι μετ' εἰρήνης αὐτοὺς ἐπανάγειν ἐπειρῶ καί, πάντα κάλων κινήσας, τὸ τοῦ λόγου, ἐπεὶ τὸ δόξαν αὐτοῖς ἐρριζοῦτο μᾶλλον καὶ πολλῶν ἑτέρων ἐπελάμβανεν ἡ λύμη καὶ μὴ μόνον παρ' αὐτοῖς ἦν τὸ δεινόν, ζῆλον αὐτὸς ἀναλαμβάνεις μωσαϊκὸν ὑπέρ τε θεοῦ ὑπέρ τε τῆς ἐκκλησίας ἐκείνου, καὶ ἀνδρείᾳ μεθ' ὅπλων καὶ στρατηγίᾳ χρησάμενος κατατρέχεις αὐτῶν καὶ χρόνους συχνοὺς ἐκείνους πορθεῖς, ἔθνος μέγιστον καὶ πολυανθρωπότατον καὶ οὕτω δὴ τούτους κατετροπώσω καὶ ἐς τοσαύτην ἀνάγκην συνήλασας, ὥστε καὶ πόλεις αὐτῶν οὐκ ὀλίγας ἐχειρώσω καὶ τὰ νῦν τὴν μητρόπολιν αὐτῶν, ἣ Πράγα τοὔνομα, ἐλθόντες ἐνεχείρισάν σου τῷ κράτει, καὶ τὸ προῦχον ἅπαν ὑπετάγη τῶν Ποεμίων καὶ βραχὺ τὸ λεῖπον καὶ αὐτὸ ἰδιωτικόν. Ἀλλὰ μετ' ὀλίγον καὶ τοῦθ' ὑπείξει, ἐπειδὴ τοῦ τοιούτου πράγματος

1. Καὶ μέγαν ἐκεῖνον Β: ἐκεῖνον καὶ μέγαν Α 3. ἱερὰν ἐν τῷ κειμένῳ ἑξῆς Α: ἱερὰν ἄνωθεν Β 4. φάναι ἔγραψα: φῆναι ΑΒ 6. ἠρεμεῖν (;) Α: ἠρεμεῖν Β 7. καὶ Α: λείπει Β 8. τῇ ἐκκλησίᾳ θεοῦ Α: λείπουσι Β 10. Ποεμίων Β: ποέμων Α προσοικειοῦται Α: προσοίκειοῦται Β 12. ταῦτα Α: λείπει Β αὐτοκράτορ Α: καῖσαρ Β 14. ἀνακαλεῖς Α: ἀνακαλῇ Α πραότητι Α: πραότητα Β 15. τὰ πρῶτα ἔγραψα: ταπρῶτα ΑΒ γαληνότητι Α: γαληνοτατα Β ἐπανάγειν Α: ἐπανάγεις Β 19. καὶ Α: λείπει Β 20. στρατηγίᾳ Α: σοφίᾳ Β 21. τούτους Β: τοιούτους Α 23. τὰ νῦν ἔγραψα: τανῦν Α: τανῦν Β 24. ἐνεχείρισάν Α: ἐνεχειρίσαντο Β προῦχον ΑΒ 25. Ποεμίων Β: ποέμων Α 26. Ἀλλὰ ἐν τῷ κειμένῳ ἑξῆς Α: ἀλλὰ ἄνωθεν Β μετ' ὀλίγον ἔγραψα: μετολίγον ΑΒ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὑπεραγωνίζῃ χάριν, ἀντικαθήμενος παρ' αὐτοῖς καὶ συνέχων αὐτοὺς πανταχόθεν. Ὁ γὰρ τὸ μέγιστον τοῦ γένους ἐκείνων καὶ ἔξαρχον ὑποτάξας εὔδηλον ὅτι ῥᾷστα καὶ τὸ ἧττον ἐπαναγάγεται καὶ θεῷ τὸ πᾶν ὥσπερ ἦν τὸ πρῶτον εὐσεβὲς ἐπανασώσει πάλιν. Ἐν πᾶσι τοίνυν, ὦ καῖσαρ, τοῖς εἰρημένοις, τί ἄν τις τῶν σῶν πρῶτον ἐπαινῶν ἀξίως ἐπαινέσεται, μὴ ὅτι γε κατ' ἐμέ, ἀλλὰ καὶ τῶν ὑπερφρονησάντων μεγίστων ἀνδρῶν πάλαι καὶ τῶν νῦν τῷ βίῳ περιόντων εὑρεθήσῃ μείζων. Ἆρα τῆς ὑμετέρας γνώσεως τὸ θαυμαστὸν καὶ ποικίλον, ὑφ' ἧς τοσάδε καὶ τηλικάδε πλήθη νοημάτων ἐν τοῖς ἔργοις ἔδειξας, τὸ πλεῖστον τῆς οἰκουμένης ἐμπλήσας αὐτῶν, ἣν θαυμάζουσιν οὐ μόνον οἱ τὸ κράτος ἰδόντες τὸ σόν, ἀλλὰ καὶ οἱ ἀκούοντες, ἢ τῆς ἀνδρείας τὸ σταθερὸν καὶ γενναῖον, ἣν ὑποπτήσσει πᾶς ὁστισοῦν, εἴτε τῶν μεγίστων εἴτε τῶν ἡττόνων σατραπῶν εἴη, καὶ δι' ἧς ἔργα μέγιστα εἰργάσω, πάντα καλά, πάντα γενναῖα, τοῦ χρόνου τὸ θαῦμα σφῶν τοῖς ἐπιγενομένοις ἀεὶ τῶν ἀνδρῶν μεθ' ὅτι πλείστης προπέμποντες τῆς εὐφημίας; Ἀλλ' ἀνδρείας μὲν καὶ συνέσεως οὕτως ἔχων δικαιοσύνην οὐκ ἠγάπησας ἢ ἠγάπησας μέν, ἐπ' ὀλίγον δέ; Οὐμενοῦν, ἀλλὰ τοσοῦτον αὐτῆς ἀντιποιῇ, ὥστε φασὶ καὶ πάντ' ἂν ὑπομεῖναι μᾶλλον ἢ τὸ σμικρότατον παριδεῖν ἐκείνης. Ἠγάπησας γὰρ κατὰ τὸν Προφήτην δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν. Καὶ γὰρ αὕτη πάρεδρός ἐστι τῷ θεῷ καὶ βασιλεία ταύτης ἄνευ οὐχ ὅτι βασιλεία, ἀλλὰ τυγχάνει τυραννίς, καὶ ὥσπερ ἐκείνης οὐδὲν ἐν τῷ κόσμῳ βέλτιον, οὕτω τυραννίδος χεῖρον οὐδέν. Ἡ μὲν γὰρ βασιλεία μετὰ δικαιοσύνης τὸν κόσμον συνίστησι, τυραννὶς δὲ ἔνθ' ἂν ἐπιλάβηται ἄνω καὶ κάτω καταποντίζουσα πάντα ποιεῖ. Διὰ τοῦτο τοίνυν ἐπὶ πολὺ δικαιοσύνην ἀγαπήσας, ὦ καῖσαρ, ἐπὶ πολὺ καὶ τὴν βασιλείαν ἰθύνεις ἄριστα. Ὡς γὰρ σῶμα καρδίας ἄνευ οὐκ ἂν συσταίη ποτέ, οὕτως οὐδὲ βασιλεία δικαιοσύνης χωρίς. Ἀλλὰ ταύτην μέν,

ἀντι

1. ἀντικαθήμενος A: καθήμενος B παρ' αὐτοῖς B: λείπουσιν A καὶ -πανταχόθεν ἐν τῷ κειμένῳ ἐφεξῆς A: καὶ-πανταχόθεν ἄνωθεν B 3. καὶ B: ἄν καὶ A 4. τὸ πρῶτον ἔγραψα: τοπρῶτον AB 5. τῶν σῶν ἐν τῷ κειμένῳ ἐφεξῆς A: τῶν σῶν ἄνωθεν B 7. εὑρεθείσῃ B: εὑρεθεὶς ὁ A 10. ἐμπλήσας ἐν τῷ κειμένῳ A: ἐμπλήσας πρόσθετον ἐν τῇ ὤᾳ B 14. ἐπιγενομένοις ἔγραψα: ἐπιγενομένοις A: ἐπιγεννωμένοις B 18. ὥστε φασὶ A; ὥστε φασι B 20. πάρεδρός A: πάρεδρος B καὶ βασιλεία A: καὶ βασιλείας B 24. ἔνθ' ἂν A: εὔθυνος (;) B διά τοῦτο ἔγραψα: διατοῦτο AB 25. (δὶς) ἐπὶ πολὺ A(;): (ἐπιπολὺ B

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὡς εἴρηται, οὕτω κατησπάσω καὶ τοσοῦτον αὐτῆς ἐπελάθου. τῶν δ' ἄλλων ἠμέλησάς τινος; Καὶ πῶς ὅς γε ταῖς τῶν πραγμάτων φροντίσιν ὅλας μὲν νύκτας ἐπαγρυπνεῖς προνοούμενος ἐθνῶν, πόλεων, ἀνδρῶν καὶ τῶν ἀνηκόντων ἐκείνοις πάντων, εἰ δέ που δέοι σε παραγενέσθαι, οὔτ' ἄνεσιν οὔτε πρὸς ἀναβολὴν ἢ ῥᾳστώνην τοῦ σώματος κἂν μικρὸν ἐπιβλέψας ἠρεμεῖς, ἀλλὰ πτηνὸς δοκεῖς, νῦν μὲν ἐνταῦθα, νῦν δὲ ἐκεῖσε φερόμενος, ἀεὶ δὲ κινούμενος, τῆς ψυχῆς οὐκ ἐῶν τὸ ὀξὺ καὶ σπουδαῖον ἠρεμεῖν ἐν ἀνέσει, ἀλλ' ἐν μεγάλοις ἀεὶ πράγμασι τὸ γενναῖον ἐκείνης ἐπιβάλλων καὶ περισπούδαστον.

Ταῦτα μὲν ἐκ τῶν σῶν ὀλίγα, βασιλεῦ, τῶν πολλῶν καὶ ὅσον ἐνυπομνῆσαι μᾶλλον τῷ προσφωνήματι τῷδε ἤ περ ἐπαινέσαι. Ταῦτα γὰρ ἐπαινῶν τις βιβλίων δέοιτο ἂν καὶ λόγων καὶ πολλῶν μᾶλλον τῶν ἡμερῶν. Ἀλλ' ἐπεὶ προλαβὼν ὁ λόγος ἐρεῖν ἐπηγγείλατο τοῖς εἰρημένοις ἀδελφὰ καὶ ὅσα μὲν ἡ σὴ θεία καὶ ἀκραιφνὴς ὠδίνου ψυχή, οὕτω δέ σοι καιρὸς εἰς φῶς αὐτὰ προσενεγκεῖν ἐμοί τε ἀνάγκη ἐπαινέσαι ταῦτα λαμπρῶς καὶ διεγεῖραι καὶ παροτρῦναι σφοδρῶς, ἄγε δή σοι τὴν ὑπόσχεσιν ἐκπληρώσας ἀνενέγκω τὸν λόγον, εὐτυχέστατε καῖσαρ. Ἡ καθ' ἡμᾶς οἰκουμένη τρισὶν ὅροις διείληπται καὶ τοῖς πάλαι σοφοῖς καὶ τοῖς νῦν, καὶ ἡ μὲν πρὸς ἀνίσχοντα ἥλιον Ἀσία τὸ πάλαι κληθεῖσα οὐδὲ ἐς δεῦρο τὴν ἐπωνυμίαν ἀπέβαλεν, Εὐρώπη δὲ ἡ πρὸς δύοντα ἥλιον, ἧς ἄρχεις, ὦ βασιλεῦ, λέγεται· Λιβύη δὲ ὅση πρὸς μεσημβρίαν ἀπὸ τῶν ἐκβολῶν ἀφορᾷ τοῦ ποταμοῦ Νείλου μέχρι τῶν Ἡρακλείων κατονομάζεται στηλῶν. Ἀλλὰ περὶ μὲν αὐτῆς καὶ τοῖς παλαιοῖς καὶ τοῖς νέοις ὁ λόγος ὀλίγος· ἀμφοῖν δὲ τοῖν μεγίστοιν πέρι τῶν μερῶν ἀγῶνές σοι πρόκεινται μέγιστοι τῶν τε νῦν τῶν τε πώποτε δύο. Ἀλλ' ἱδρῶτι περιρρέομαι καὶ μνησθεὶς τουτωνὶ μόνον. Οὕτως οὗτοι, εἴ γέ σοι θεὸς παράσχοι προαγαγεῖν εἰς τέλος αὐτούς, ἴσθι, λαμπρότατε βασιλεῦ, ὡς οὐρανομήκης σοι στήλη σταθήσονται, πᾶσιν ἀνθρώποις εἰς αἰῶνα φαινομένη τὸν ἅπαντα. Ἔσται γὰρ ὑπὲρ τὰς ἐν Αἰγύπτῳ πυραμίδας, ὑπὲρ τὰ Βαβυλῶνος τείχη καὶ ὑπὲρ πᾶν ᾀδόμενον καὶ θαυμαζόμενον ἔργον τῶν πα-

5. Μετὰ τὸ ἄνεσιν προσθετέον παρέχεις σεαυτῷ; 12. δέοιτο ἔγραψα: δέοι AB 18. τὸ πάλοι B: τὸ πάλαι A 20. ἀπέβαλεν A: ἀπέβολε B Εὐρώπη A: εὐρώπη B 24. ὁ λόγος ὀλίγος A: ὀλίγος ὁ λόγος B τοῖν μεγίστοιν πέρι A: πέρι τοῖν μεγίστοιν B (6 α) ἀγῶνες AB 27. αὐτοὺς ἐν τῷ κειμένῳ ἐφεξῆς A, αὐτοὺς ἄνωθεν B 30. καὶ ὑπὲρ A: ὑπὲρ B.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λαιῶν τε καὶ νέων ὅσον ταῦτα μὲν ἔμψυχα καὶ θειοτέρας θάτερον μερίδος, ἐκεῖνα δὲ σώματα καὶ ἐν ἀψύχοις τελεῖ τοῖς σώμασι. Καὶ μὴν τῶν τμημάτων ἀμφοῖν διχῶς διῃρημένων, ἡ μὲν Εὐρώπη πᾶσα τῷ εὐσεβεῖ τῶν Χριστιανῶν μέρει κατείληπτο, ὀλίγου μέρους ἐπιλαβόντος αὐτῆς τῶν ἀσεβῶν, ἡ δὲ Ἀσία ὅ τι πλεῖστα καὶ μέγιστα τῶν ἀθέων περιέχει τὰ γένη, ἀλλ' ὅμως ἐν αὐτῇ καὶ πλεῖστοι Χριστιανῶν εἰσιν ὑπὸ τῇ τῶν ἀσεβῶν τελοῦντες δουλείᾳ, εἰσὶ δὲ καὶ βασιλεῖαί τινες εὐσεβεῖς καὶ πολλῶν εὐσεβῶν ἐξάρχουσαι. Τοῖς ἀσεβέσι τοίνυν οὕτω δήτοι σφόδρα θυμήρες καὶ περισπούδαστον ὡς ἐξελεῖν τὸ θειότατον καὶ ἅγιον ἀπὸ τῆς γῆς τῶν Χριστιανῶν ὄνομα, ὥστε πάντ' ἂν καὶ αὐτῆς πρόοιντο τῆς ζωῆς· τούτου χάριν καὶ καθ' ἡμέραν οὐ διαλείπουσι πολεμοῦντες ἡμῖν καὶ μαχόμενοι. Τούτων ἀνταγωνιστὴς ἀξιόχρεως, σὺν θεῷ δὲ φάναι τροπαιοῦχος καὶ νικητὴς τῶν ἁπάντων, ὅσοι χριστιανῶν ῥῆγές τε καὶ ἡγεμόνες τυγχάνουσιν, οὐδεὶς ἕτερος εἰ μὴ σύ, βασιλεῦ, οὐδ' ἄλλῳ τινὶ προσήκει στῆσαι τουτὶ τὸ τρόπαιον πρῶτον μὲν ὡς τῷ θειοτάτῳ τῆς βασιλείας ἀξιώματι σοὶ μᾶλλον ἀνήκει· ταύτης γὰρ ἔργον τῶν βαρβάρων κατατρέχειν καὶ καταδουλοῦν αὐτοὺς καὶ τοὺς μὲν πειθομένους Χριστιανοὺς ποιεῖν, τοὺς δ' αὖ καταδεῖν ἅμμασι τοὺς ἀπὸ τῶν θαυμασίων μὴ πειθομένους ἔργων· ἀλλὰ καὶ τί γὰρ ἄλλο σοι ἥ τε πορφύρα προτρέπει καὶ τὸ διάδημα ; Ἔπειτα τίς οὕτω δυνάμεως καὶ ἀρχῆς καὶ ἐξουσίας πολλῶν τε καὶ μεγίστων ἐθνῶν ἐπάρχων καὶ στρατιᾶς ἀξιολόγου τε καὶ πλείστης ὡς αὐτός, ὦ βασιλεῦ ; Ἀλλὰ τίς οὕτω

1. ὅσον ἔγραψα: ὅσα AB 2. ἀψύχοις τελεῖ τοῖς σώμασι A: σώμασιν ἀψύχοις τοῖς τελεῖ 3. ἡ A: τῶν ἡ B Εὐρώπη A: ἑσπέρα (εὐρώπη) B 5. Ἀσία A: ἁγία B 6. εἰσιν ἔγραψα: εισὶν AB 7-8. πολλῶν εὐσεβῶν A: εὐσεβῶν ἁπάντων B 8-9. θυμῆρες καὶ περισπούδαστον A (θυμῆρες καὶ) περισπούδαστον B

10. πάντ' A: πάντα B 11. τούτου χάριν καὶ καθημέραν A: καὶ καθημέραν (τούτου χάριν) B οὐ διαλείπουσι πολεμοῦντες ἡμᾶς καὶ A: οὐ διαλείπουσι πολεμοῦντες ἡμῖν καὶ 12. φάναι ἔγραψα: φᾶναι AB 13. ῥῆγές τε ἔγραψα: ῥῆγες τὲ A: ῥήγες τὲ B 14. τυγχάνουσιν B: τυγχάνουσιν οὐδεὶς ἂν ἕτερος A βασιλεῦ B: βασιλεῦ γένοιο A 15. τουτὶ ἐν τῷ κειμένῳ ἐφεξῆς A: τουτὶ ἄνωθεν B 15-16. Γραπτέον τοῦ θειοτάτου...ἀξιώματος...ἀνήκοντος ; 17. καταδουλοῦν A: καταδηλοῦν (;) B 18. καταδεῖν—ἔργων ἐν τῷ κειμένῳ ἐφεξῆς A: καταδεῖν ἔργων ἐν τῇ ὤᾳ (διὰ παραπεμπτικοῦ σημείου ·). B 19. τοὺς...πειθομένους ἔγραψα: τοῖς...πειθομένοις (;) AB ἔργων A: ἔργων ἀφανίζειν (μὴ) πειθομένους B

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τόλμης καὶ ἀνδρείας πνέων τῶν πάντων ὡς αὐτός; Συνέσεως δὲ καὶ ἐμπειρίας τῶν πολεμικῶν στῆσαί τε φάλαγγας καὶ προαγαγεῖν, εἰ δέοι, καὶ κατὰ μέτωπον προσαράξαι καὶ περιελθεῖν καί, εἴ που δέοι, κυκλῶσαι τοὺς πολεμίους καὶ δόλους ἐκείνων καὶ ἐνέδρας καταμαθεῖν, τίνι ταῦτα καὶ πάντα δὴ τὰ πολεμικὰ ἐκπεπόνηται καὶ διήνυσται καὶ εἰς ἕξιν προύβη τῶν τοιούτων ὡς τῷ πολεμικῷ σοί γε καὶ σοφωτάτῳ βασιλεῖ τὰ τοιαῦτα; Ἆρα ταῦτα πάντα κατὰ νοῦν οὐ στρέφῃ; Ἆρά τι καὶ μεῖζον λογίζῃ ἔργου τοῦ τοιούτου; Οἶμαι μὲν οὐδὲν ἄλλο σου τὴν θειοτάτην τρέφειν ψυχὴν ἢ τοῦθ' ὅπως ἁπάσης ἐξαιρήσεις τοὺς ὀλέθρους καὶ ἐχθίστους Χριστιανοῖς ἐκείνους βαρβάρους τῆς οἰκουμένης. Τοῦτο δὲ εἴ γέ σοι θεὸς τὸ βουλόμενον παρέξει τῆς σῆς θείας προαγαγεῖν εἰς τέλος ψυχῆς μέγιστον ἐν τοῖς μεγίστοις τῶν νῦν ὄντα καὶ τοῖς παλαιοῖς ἐκείνοις συγκρινόμενον μέγιστον ἀναδείξει καὶ κλέος ἀρεῖς ὃ οὔποτ' ὀλεῖται καθ' Ὅμηρον ἔστ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ. Τὸ γάρ τοι κλέος καὶ καύχημα τῆς ὑμετέρας ψυχῆς τῶν ἁπάντων οὐδὲν οὕτως ἐφίεται ὡς ἐξελεῖν τὸ τῆς ἀσεβείας ὄνομα καὶ Χριστιανούς, εἰ οἷόν τε, πάντας ἀνθρώπους ποιῆσαι καὶ στῆσαι, μᾶλλον δ' ἀνακόψαι καὶ εἰς τοὐναντίον ἅπαν τὴν φερομένην καὶ πάντα κυκῶσαν τῆς ἀσεβείας περιαγαγεῖν φοράν. Τοῦτο καὶ ἀποστολικὸν εἴποι τις ἂν πρὸς τὸ λαμπρὸν καὶ ὠφέλιμον τῆς ψυχῆς ἀφορῶν καὶ στρατηγικώτατον αὖ πρὸς τὴν τῶν σωμάτων νίκην, τὰς μεγάλας τῶν παλαιῶν ἐκείνων ὑπερβάλλον βασιλέων πράξεις. Πρὸς αὐτήν σε τοίνυν, αὐτοκράτορ, τὴν ἐπωφελῆ καὶ μεγίστην καὶ πάντα λόγον ὑπεραίρουσαν πρᾶξιν εἰκότως ἄν τις πυκνῶς ὑπομιμνήσκων σε τὸν ἀεὶ ταύτης μεμνημένον εὐφρόσυνα καὶ θυμήρη σοι διατελῶν ἔσται.

Ἀλλ' ἐπὶ τοῖς εἰρημένοις τὸ νῦν σοι πραττόμενον ἐπαινέσας καὶ παραθήξας, ὡς ἂν λάβοι τάχιστα τέλος κατ' οὐδὲν ἐκείνου τοῦ εἰρημέ-

2. ἐμπειρίας ἐν τῷ κειμένῳ ἐφεξῆς A: ἐμπειρίας τοῦ μὲν ἐμ γραφέντος ἄνωθεν, τοῦ δέ πειρίας διορθωθέντος ἐκ τοῦ τὸ πρῶτον γραφέντος πείρας φάλαγγας A: φάλαγκας B 3. προσαράξαι ἔγραψα: προσαρράξαι AB 6. ἕξιν προύβη των A: ἕξιν πρόνοητῶν B 11. γέ A: γε B παρέξει A: πράξει B 12. καὶ A: κἀν B 13. συγκρινόμενον μέγισcον ἀναδείξει A: καὶ μεγίστοις μέγιστος συγκρινόμενος ἀναφανήση (δείξει) τῶν κάτωθεν φανήσῃ διαγραφέντων B 14. ὕδωρ B: ὕδώρ A νάῃ A: ναίῃ B 16. ὑμετέρας A: ὑμετέρας τοῦ ὑ προελθόντος ἐκ διορθώσεως B ἀσεβείας A: εὐσεβείας B 21. νίκην A: νίκην ἀφορῶν B

22. ὑπερβάλλον βασιλέων A: βασιλέων ὑπερβάλλον B 23. αὐτοκράτορ A: ὦ καῖσαρ B 26. τοῖς A: ταῖς B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νου καὶ μεγίστου ἔλαττον, εἰ μὴ καὶ μεῖζον ἄν τις εἴποι τυγχάνον, καὶ δὴ καταπαύσω τὸν λόγον. Τὴν ἐκκλησίαν οἰκείοις αἵμασι θεὸς πηξάμενος ταύτην Πέτρῳ τῷ μεγίστῳ καὶ τοῖς ἱεροῖς παρέδωκεν Ἀποστόλοις, οἳ ταύτην ἑδραιώσαντες ἄθλοις τοῖς μεγίστοις, εἰρήνη κατεῖχε βαθεῖα τὴν ἐκκλησίαν τὴν αὐτὴν οὖσαν Λατίνων τε καὶ Γραικῶν. Μία γάρ, ὡς οἶσθα, κράτιστε καισάρων, ἐπὶ χρόνους ἐτέλει χιλίους, εἶτ' οὐκ οἶδ' ὅθεν ἄντικρυς δὴ φθόνος καὶ ἔρις καὶ φιλονεικία τοῦ πονηροῦ σαφῆς ὀλίγον ἐπ' ὀλίγῳ πάνυ τῷ σχίσματι προστιθεὶς ἀεὶ οὐκ οἶδ' ὅπως λανθάνει τοῖς μέρεσιν ἀμφοτέροις ἔριν καὶ φιλονεικίαν ἐπαγαγών. Ἡδόμενος τοῖς τοιούτοις ἐκεῖνος ἀεὶ ἀνάπτει τὴν ἔριν καὶ μεγάλην ἐγείρει κατὰ τῶν ἐκκλησιῶν τοῦ θεοῦ τὴν φλόγα καὶ πᾶσα Εὐρώπη καθ' ἑαυτὴν ἀντιπράττει τῇ Ἀσίᾳ καὶ Ἀσία τῇ Εὐρώπῃ καὶ τοσοῦτον ὥστε καὶ γράμματα ἀμφοτέρας ἀντιρρητικὰ κατ' ἀμφοτέρων ἐξενεγκεῖν καὶ γενέσθαι τὴν ἐκκλησίαν Χριστοῦ ὥσπερ ἐν μιᾷ πόλει μεγίστῃ ἀκροπόλεις ἀκροβολιζούσας ἀλλήλαις δύο καὶ στάσιν ἐγεῖραι καὶ σύγχυσιν τοῦ ἑνὸς τῆς ἐκκλησίας Χριστοῦ σώματος, ὡς δοκεῖν αὐτὸ τμηθῆναι καὶ ἥδεσθαι μέχρι τοῦ νῦν τὸν ἐχθρὸν τοῦ θεοῦ τὰ μέγιστα, ὁρῶντα τὴν πρὶν θάλλουσαν καὶ ἡνωμένην ἄρτι κυμαινομένην ὑπ' αὐτοῦ καὶ κλυδωνιζομένην. Ἀλλ' ἐπεὶ καὶ τοῦτο θεοῦ συναιρομένου πρὸς ἴασιν ἄρτι καὶ ἕνωσιν ἀφορμῇ, ἑκατέρου περὶ τῆς θείας ταύτης ἑνώσεως πρεσβευομένου πολλάκις τοῦ μέρους καὶ τῆς ἱερᾶς καὶ θείας παρ' ὑμῖν συνόδου, ἣν ὑπέρ τε ἄλλων, οὐχ ἥκιστα δὲ καὶ τοῦ τοιούτου συγκεκρότηκας αὐτὸς θείου πράγματος, ἀγῶνα οὔ τοι φαῦλον ἀγωνισάμενος, ἐπισπεύδεις δὲ πρὸ τῶν ἄλλων πάντων καὶ σαφῶς ἀγωνίζῃ τὰ μεγάλα ἑνωθῆναι οἰκουμενικὰ τῆς ἐκκλησίας τμήματα, θεός σοι παρέξοι πρὸς

1-2. τυγχάνον καὶ δὴ ἐν τῷ κειμένῳ ἐφεξῆς Α: ἄνωθεν Β  3. ταύτην Α: καὶ ταύτην Β  παρέδωκεν Α: παραδοὺς Β ἔδωκεν  4. ἄθλοις Α: ἄθλοις Β  5 ἐκκλησίαν τὴν αὐτὴν οὖσαν Α: ἐκκλησίαν Β αὐτὴν ταύτην  7. δὴ Β: δε Α  8. ὀλίγον Α: ὀλίγην Β  10. ἐκεῖνος ἀεὶ Α: ἀεὶ ἐκεῖνος Β  καὶ μεγάλην Α: καὶ λίαν(;) πρὶν(;) Β μεγάλην  11. πᾶσα εὐρώπη Α: πᾶσα (ἐκ τοῦ πάσα) εὐρώπη Β  12. εὐρώπη Α: εὐρώπη Β  13. ἀμφοτέρας Β: ἀμφοτέρους Α  17. θεοῦ Α: Χριστοῦ Β  τὰ μέγιστα ἔγραψα: το μέγιστα ΑΒ  21. τοῦ μέρους ἐν τῷ κειμένῳ ἐφεξῆς Α: τοῦ μέρους ἄνωθεν Β  τῆς ἱερᾶς Α: τῆς θ' ἱερᾶς, μεθ' ὃ ἕπεται συν (ἡ ἀρχὴ τῆς κατόπιν λέξεως συνόδου) διαγεγραμμένον  22. οὐχ ἥκιστα ἔγραψα: οὐχὶ ἥκιστα ΑΒ  23. αὐτὸς ἐν τῷ κειμένῳ ἐφεξῆς Α: αὐτὸ(;) ἄνωθεν Β  24. τὰ Β: τα Α  25. παρέξοι Α: παρέξει Β

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σοῦ καὶ τοῦτο τελεσθῆναι τὸ λαμπρότατον ἅμα καὶ θειότατον ἔργον, ἵνα λαβὼν ἐξ ἁγίου κατοικητηρίου αὐτοῦ βοήθειαν κραταιὰν καὶ τοῦτο δὴ τὸ κάλλιστον ἐκτελέσῃς ἔργον, πᾶσι τοῖς αἰῶσιν εὔκλειαν τῆς σῆς λαμπροτάτης ἐναποθέμενος δόξης· σοὶ γὰρ πρὸ πολλῶν, ὡς οἶμαι, τῶν ἐτῶν τὴν τοιαύτην θεὸς προὐμνηστεύσατο πρᾶξιν, ἧς γε δὴ τύχοις ὅ τι μάλιστα διὰ τάχους.

Τοῦτό σοι τὸ λογικόν, ἀειαύγουστε καῖσαρ, ἀνενεγκόντες δῶρον, προσφωνοῦντες μετὰ τῆς ἀνηκούσης προσκυνήσεως προσάγομεν, ἧττον μὲν κατὰ πολὺ τοῦ τε ὕψους τῆς ὑμετέρας βασιλείας τῶν τε ἐκείνης ἔργων καὶ πράξεων, κατὰ δὲ τὴν ἐμὴν ἱκανῶς δύναμιν καὶ προσδέξαιο τοῦτο μετ᾽ εὐμενείας, ἐπεὶ καὶ θεῷ φασι φίλον τὸ κατὰ δύναμιν.

2. λαβὼν Α: λαβὼν ἑπομένων τῶν λέξεων παρ' αὐτοῦ διαγραφεισῶν εἶτα Β
2. καὶ τοῦτο—ἐκτελέσῃς ἔργον ἐν τῷ κειμένῳ ἐφεξῆς Α: καὶ τοῦτο—ἔργον τελέσῃς ἄνωθεν τῶν ἑξῆς λέξεων διαγεγραμμένων ὑποτάξῃς ἅπαν μὲν τὸ ἀντιπίπτον σοι καὶ πρὸ πάντων τὸ θρασὺ καὶ ἀσεβὲς τῶν βαρβάρων γένος· οὐ μόνος ἂν γένοιο σὺν θεῷ δὲ φῖναι ἐξολοθρευτὴς καὶ καταλύτης εἰς ἀφανισμὸν προαγαγὼν αὐτοὺς καὶ πανωλεθρίαν μετὰ δὲ τὸ τελέσῃς τὸ σημεῖον *). ἀνταποκρινόμενον εἰς τὰ κάτω ἐν τῇ ὤᾳ προστεθειμένα *). πᾶσι τοῖς (τοῦ τοῖς διαγεγραμμένου)—δόξης μεθ' ἃ [[ Εἰς τὸ σημεῖον τοῦτο, ἐπαναλαμβανόμενον καὶ ἐν τῷ κειμένῳ, ἕπονται αἱ λέξεις σοί γε πρὸ (εἰς ἃς ἐσφαλμένως διήκει ἡ διαγραφή, ἐπεκτεινομένη μετὰ τὴν ἀνωτέρω λέξιν πανωλεθρίαν) πρὸ πολλῶν, ὡς οἶμαι,—πρᾶξιν, ἧς τυγχάνων γένοιο διὰ τάχους ὅτι μάλιστα 4. γὰρ Α: γε Β 5. προὐμνηστεύσατο ἔγραψα: προυμνηστεύσατο Α: προμνηστεύσαντος Β 5. γε δὴ τύχοις ὅτι μάλιστα διατάχους Α: τυγχάνων γένοιο διατάχους ὅτι μάλιστα Β
9. κατὰ πολὺ ἔγραψα: καταπολὺ ΑΒ 10. πράξεων Α: πράξεων εἶτα δὲ διαγεγραμμένα τάδε· ἀλλ' ἴσθι τοῦτο καὶ ὡς ἀπὸ ψυχῆς εἰλικρινοῦς καὶ πολλῆς τυγχάνει
ὑπερφούσης (;) κἂν μόνης ἀκοῆς *). ἐν τῇ ὤᾳ διαγεγραμμένον *). προσδέχου] τὴν δὲ ἱκανῶς δύναμιν εἴρηται τοιγαροῦν 10. δὲ τὴν Α: τὴν ἱκανῶς δύναμιν Α: δύναμιν Β προσδέξαιο Α: προσδέχου Β

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006